**ΔΙΑΓΩΝΙΣΜΑ**

**ΑΡΧΑΙΑ ΕΛΛΗΝΙΚΑ ΠΡΟΣΑΝΑΤΟΛΙΣΜΟΥ Γ΄ ΛΥΚΕΙΟΥ**

**18.10.2020**

| | |
|---|---|
| δύναμη ΦΡΟΝΤΙΣΤΗΡΙΑ Μ.Ε.<br>**ΠΑΤΡΑ:**<br>Κορίνθου 224 & Αγ. Νικολάου τηλ. 2613021611<br>**ΚΑΤΩ ΑΧΑΪΑ**<br>Πλατεία Δημοκρατίας τηλ. 2693025171 | ΟΝΟΜΑ: ……………………………………..<br>ΕΠΩΝΥΜΟ: ………………………………..<br>ΒΑΘΜΟΣ:……………..…………………… |

## ΔΙΔΑΓΜΕΝΟ ΚΕΙΜΕΝΟ

**Πλάτωνος Πρωταγόρας 320D-322A**

«Ἦν γάρ ποτε χρόνος ὅτε θεοὶ μὲν ἦσαν, θνητὰ δὲ γένη οὐκ ἦν. ἐπειδὴ δὲ καὶ τούτοις χρόνος ἦλθεν εἱμαρμένος γενέσεως, τυποῦσιν αὐτὰ θεοὶ γῆς ἔνδον ἐκ γῆς καὶ πυρὸς μείξαντες καὶ τῶν ὅσα πυρὶ καὶ γῇ κεράννυται. ἐπειδὴ δ'ἄγειν αὐτὰ πρὸς φῶς ἔμελλον, προσέταξαν Προμηθεῖ καὶ Ἐπιμηθεῖ κοσμῆσαί τε καὶ νεῖμαι δυνάμεις ἑκάστοις ὡς πρέπει. Προμηθέα δὲ παραιτεῖται Ἐπιμηθεὺς αὐτὸς νεῖμαι, «Νείμαντος δέ μου», ἔφη, «ἐπίσκεψαι»· καὶ οὕτω πείσας νέμει. Νέμων δὲ τοῖς μὲν ἰσχὺν ἄνευ τάχους προσῆπτεν, τοὺς δ' ἀσθενεστέρους τάχει ἐκόσμει· τοὺς δὲ ὥπλιζε, τοῖς δ' ἄοπλον διδοὺς φύσιν ἄλλην τιν' αὐτοῖς ἐμηχανᾶτο δύναμιν εἰς σωτηρίαν. Ἃ μὲν γὰρ αὐτῶν σμικρότητι ἤμπισχεν, πτηνὸν φυγὴν ἢ κατάγειον οἴκησιν ἔνεμεν· ἃ δὲ ηὖξε μεγέθει, τῷδε αὐτῷ αὐτὰ ἔσῳζεν· καὶ τἆλλα οὕτως ἐπανισῶν ἔνεμεν. Ταῦτα δὲ ἐμηχανᾶτο εὐλάβειαν ἔχων μή τι γένος ἀϊστωθείη· […] ἐπειδὴ δὲ αὐτοῖς ἀλληλοφθοριῶν διαφυγὰς ἐπήρκεσε, πρὸς τὰς ἐκ Διὸς ὥρας εὐμάρειαν ἐμηχανᾶτο ἀμφιεννὺς αὐτὰ πυκναῖς τε θριξὶν καὶ στερεοῖς δέρμασιν, ἱκανοῖς μὲν ἀμῦναι χειμῶνα, δυνατοῖς δὲ καὶ καύματα, καὶ εἰς εὐνὰς ἰοῦσιν ὅπως ὑπάρχοι τὰ αὐτὰ ταῦτα στρωμνὴ οἰκεία τε καὶ αὐτοφυὴς ἑκάστῳ· καὶ ὑποδῶν τὰ μὲν ὁπλαῖς, τὰ δὲ [θριξὶν καὶ] δέρμασιν στερεοῖς καὶ ἀναίμοις. […] ἅτε δὴ οὖν οὐ πάνυ τι σοφὸς ὢν ὁ Ἐπιμηθεὺς ἔλαθεν αὑτὸν καταναλώσας τὰς δυνάμεις εἰς τὰ ἄλογα· λοιπὸν δὴ ἀκόσμητον ἔτι αὐτῷ ἦν τὸ ἀνθρώπων γένος, καὶ ἠπόρει ὅτι χρήσαιτο. ἀποροῦντι δὲ αὐτῷ ἔρχεται Προμηθεὺς ἐπισκεψόμενος τὴν νομήν, καὶ ὁρᾷ τὰ μὲν ἄλλα ζῷα ἐμμελῶς πάντων ἔχοντα, τὸν δὲ ἄνθρωπον γυμνόν τε καὶ ἀνυπόδητον καὶ ἄστρωτον καὶ ἄοπλον· ἤδη δὲ καὶ ἡ εἱμαρμένη ἡμέρα παρῆν,ἐν ᾗ ἔδει καὶ ἄνθρωπον ἐξιέναι ἐκ γῆς εἰς φῶς. ἀπορίᾳ οὖν σχόμενος ὁ Προμηθεὺς ἥντινα σωτηρίαν τῷ ἀνθρώπῳ εὕροι, κλέπτει Ἡφαίστου καὶ Ἀθηνᾶς τὴν ἔντεχνον σοφίαν σὺν πυρί —ἀμήχανον γὰρ ἦν ἄνευ πυρὸς αὐτὴν κτητήν τῳ ἢ χρησίμην γενέσθαι— καὶ οὕτω δὴ δωρεῖται ἀνθρώπῳ.

τὴν μὲν οὖν περὶ τὸν βίον σοφίαν ἄνθρωπος ταύτῃ ἔσχεν, τὴν δὲ πολιτικὴν οὐκ εἶχεν· ἦν γὰρ παρὰ τῷ Διί. τῷ δὲ Προμηθεῖ εἰς μὲν τὴν ἀκρόπολιν τὴν τοῦ Διὸς οἴκησιν οὐκέτι ἐνεχώρει εἰσελθεῖν —πρὸς δὲ καὶ αἱ Διὸς φυλακαὶ φοβεραὶ ἦσαν— εἰς δὲ τὸ τῆς Ἀθηνᾶς καὶ Ἡφαίστου οἴκημα τὸ κοινόν, ἐν ᾧ ἐφιλοτεχνείτην, λαθὼν εἰσέρχεται, καὶ κλέψας τήν τε ἔμπυρον τέχνην τὴν τοῦ Ἡφαίστου καὶ τὴν ἄλλην τὴν τῆς Ἀθηνᾶς δίδωσιν ἀνθρώπῳ, καὶ ἐκ τούτου εὐπορία μὲν ἀνθρώπῳ τοῦ βίου γίγνεται, Προμηθέα δὲ δι᾽ Ἐπιμηθέα ὕστερον, ᾗπερ λέγεται, κλοπῆς δίκη μετῆλθεν.»

**ΠΑΡΑΤΗΡΗΣΕΙΣ**

Α1. α) Ο μύθος του Πρωταγόρα εξηγεί τελ(ε)ολογικά το νόμο της αναπλήρωσης, σύμφωνα με τον οποίο μια αδυναμία αναπληρώνεται από μια ικανότητα. Συμπληρώστε τα στοιχεία που λείπουν με βάση το παρακάτω χωρίο από το πρωτότυπο κείμενο του Πλατωνικού διαλόγου: (μονάδες 5)

**Νέμων δὲ τοῖς μὲν ἰσχὺν ἄνευ τάχους προσῆπτεν, τοὺς δ᾽ ἀσθενεστέρους τάχει ἐκόσμει· τοὺς δὲ ὥπλιζε, τοῖς δ᾽ ἄοπλον διδοὺς φύσιν ἄλλην τιν᾽ αὐτοῖς ἐμηχανᾶτο δύναμιν εἰς σωτηρίαν. Ἃ μὲν γὰρ αὐτῶν σμικρότητι ἤμπισχεν, πτηνὸν φυγὴν ἢ κατάγειον οἴκησιν ἔνεμεν·**

Η ταχύτητα αντισταθμίζει την …………………(i)

Τα φτερά ή η υπόγεια κατοικία αντισταθμίζουν τη μικρή ………………… (ii)

β). **«τὴν δὲ πολιτικὴν οὐκ εἶχεν· ἦν γὰρ παρὰ τῷ Διί. τῷ δὲ Προμηθεῖ εἰς μὲν τὴν ἀκρόπολιν τὴν τοῦ Διὸς οἴκησιν οὐκέτι ἐνεχώρει εἰσελθεῖν — πρὸς δὲ καὶ αἱ Διὸς φυλακαὶ φοβεραὶ ἦσαν»:** Πώς αιτιολογείται στο συγκεκριμένο απόσπασμα, βάσει μύθου, η αδυναμία του Προμηθέα να κλέψει την πολιτική τέχνη και να την δωρίσει στον άνθρωπο; (μονάδες 5)

**Μονάδες 10**

Α2. **«ὅσα πυρὶ καὶ γῇ κεράννυται - ἔμπυρος τέχνη », «εἱμαρμένη ἡμέρα»:** Να προσδιορίσετε το περιεχόμενο των όρων – φράσεων του κειμένου.

**Μονάδες 10**

Α3. **«…κλέπτει Ἡφαίστου καὶ Ἀθηνᾶς τὴν ἔντεχνον σοφίαν σὺν πυρί»** : Πώς υποκαθιστά ο άνθρωπος μέσα από τον μύθο του Προμηθέα την έλλειψη οργάνων προσαρμογής του; Τι συμβολίζει- κατά τη γνώμη σας- η κλοπή της φωτιάς από τον Προμηθέα; (Η απάντησή σας να μην υπερβαίνει τις 180 -200 λέξεις)

**Μονάδες 10**

Α4. Να γράψετε στο τετράδιό σας, δίπλα στο γράμμα που αντιστοιχεί σε καθεμία από τις παρακάτω θέσεις, τη λέξη **Σωστό**, αν είναι σωστή, ή τη λέξη **Λάθος**, αν είναι λανθασμένη:

Ο Σωκράτης αναζήτησε την ουσία της ηθικής και όχι τα ηθικά φαινόμενα.

Δίκη για ασέβεια είχε υποστεί και ο Αναξαγόρας.

Ένα από τα πρόσωπα που εμφανίζονται στο διάλογο *Πρωταγόρας* είναι ο ηγέτης των Τριάκοντα Τυράννων.

Στο διάλογο *Πρωταγόρας* , ο Σωκράτης αντιμετωπίζει τον Πρωταγόρα με έντονη ειρωνεία.

Η σωκρατική διαλεκτική υιοθετεί τη μέθοδο της διάλεξης.

**Μονάδες 10**

Α5. α) Να γράψετε μία ομόρριζη λέξη της αρχαίας ή της νέας ελληνικής γλώσσας, απλή ή σύνθετη, για καθεμιά από τις παρακάτω λέξεις του κειμένου: **κεράννυται, ἐπήρκεσε, ἀμφιεννὺς, ἔφη, ἔσχεν.**

(Μονάδες 5)

β) **Δυνάμεις, παραιτεῖται:** Να γράψετε για καθεμιά από τις λέξεις που σας δίνονται από μία πρόταση χρησιμοποιώντας τις με διαφορετική σημασία από αυτήν που χρησιμοποιούνται στο πρωτότυπο κείμενο. (Μονάδες 2)

γ) **λαθών, δίδωσιν, φῶς:** Να γράψετε ένα αντώνυμο για καθεμιά λέξη που σας δίνεται στα αρχαία ή στα νέα ελληνικά. (Μονάδες 3)

**Μονάδες 10**

**Α6.** Οι κοσμογονικές και ανθρωπογονικές αντιλήψεις που συναντάμε στο απόσπασμα του κειμένου **«Ἦν γάρ ποτε χρόνος … γένος ἀϊστωθείη»** να συγκριθούν με το παράλληλο κείμενο που ακολουθεί και να εντοπίσετε ομοιότητες και διαφορές.

Μύθοι με θέμα τη δημιουργία του ανθρώπου από χώμα μας είναι γνωστοί και από άλλους λαούς (Αιγύπτιους, Βαβυλώνιους) […] Όλοι οι αρχαιοελληνικοί μύθοι, θεογονικοί και ανθρωπογονικοί, που αναφέρονται σε όντα γεννημένα από γη, χώμα, πηλό, πέτρα, ακόμα και πετρωμένο καρπό, σπόρο και αβγό με κέλυφος από πέτρωμα, όλοι βασίζονται στην πρωταρχική διαπίστωση της γεννητικής δύναμης της γης, που σε κοινωνίες με μητριαρχικά πρότυπα εκφράζεται προεπιστημονικά με την πίστη στην παμμήτειρα Γη. Ειδικά για τον ανθρωπογονικό μύθο της Πανδώρας, η ανάπτυξη της κεραμικής προϋποτίθεται: Οι θεοί που πλάθουν ανθρώπινα πλάσματα κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν τους έχουν πρότυπο τους ανθρώπους, που

δίνουν τη δική τους μορφή στους θεούς τους, όταν πάνω στον κεραμευτικό τροχό κατασκευάζουν τα λατρευτικά τους ομοιώματα. Αυτή η ιδέα λειτουργεί ακόμα και στην πρώιμη ελληνική επιστήμη. Έτσι στον 6 αι. π.Χ. ένας φιλόσοφος με γαιοκρατική φυσική θεωρία, ο Ξενοφάνης διδάσκει: όλοι έχουμε γίνει από χώμα και νερό [πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεσθα (απόσπ. 29 DK)]. *Ελληνική Μυθολογία, Εκδοτική Αθηνών, τ. 2, σ.58*

**Μονάδες 10**

## 2.ΑΔΙΔΑΚΤΟ ΚΕΙΜΕΝΟ

*Ο Πέρσης σατράπης Φαρνάβαζος ενισχύει με πολεμικά πλοία τον Αθηναίο στρατηγό Κόνωνα, ενώ ο Σπαρτιάτης Δερκυλίδας ζητάει από τους Αβυδηνούς να μείνουν πιστοί στους Λακεδαιμονίους.*

Ἀποβὰς δ᾽ εἰς Ἔφεσον τῷ μὲν Κόνωνι δοὺς τετταράκοντα τριήρεις εἰς Σηστὸν εἶπεν ἀπαντᾶν, αὐτὸς δὲ πεζῇ παρῄει ἐπὶ τὴν αὑτοῦ ἀρχήν. καὶ γὰρ ὁ Δερκυλίδας, ὅσπερ καὶ πάλαι πολέμιος ἦν αὐτῷ, ἔτυχεν ἐν Ἀβύδῳ ὤν, ὅτε ἡ ναυμαχία ἐγένετο, καὶ οὐχ ὥσπερ οἱ ἄλλοι ἁρμοσταὶ ἐξέλιπεν, ἀλλὰ κατέσχε τὴν Ἄβυδον καὶ διέσῳζε φίλην τοῖς Λακεδαιμονίοις. καὶ γὰρ συγκαλέσας τοὺς Ἀβυδηνοὺς ἔλεξε τοιάδε.

ὦ ἄνδρες, νῦν ἔξεστιν ὑμῖν καὶ πρόσθεν φίλοις οὖσι τῇ πόλει ἡμῶν εὐεργέτας φανῆναι τῶν Λακεδαιμονίων. καὶ γὰρ τὸ μὲν ἐν ταῖς εὐπραξίαις πιστοὺς φαίνεσθαι οὐδὲν θαυμαστόν: ὅταν δέ τινες ἐν συμφοραῖς γενομένων φίλων βέβαιοι φανῶσι, τοῦτ᾽ εἰς τὸν ἅπαντα χρόνον μνημονεύεται. ἔστι δὲ οὐχ οὕτως ἔχον ὡς, εἰ τῇ ναυμαχίᾳ ἐκρατήθημεν, οὐδὲν ἄρα ἔτι ἐσμέν: ἀλλὰ καὶ τὸ πρόσθεν δήπου, Ἀθηναίων ἀρχόντων τῆς θαλάττης, ἱκανὴ ἦν ἡ ἡμετέρα πόλις καὶ εὖ φίλους καὶ κακῶς ἐχθροὺς ποιεῖν. ὅσῳ δὲ μᾶλλον αἱ ἄλλαι πόλεις σὺν τῇ τύχῃ ἀπεστράφησαν ἡμῶν, τοσούτῳ ὄντως ἡ ὑμετέρα πιστότης μείζων φανείη ἄν.

Βοηθητικό λεξιλόγιο

**ἡ εὐπραξία** = ευτυχής έκβαση// ευτυχία.

## ΕΡΩΤΗΣΕΙΣ

i. Να μεταφραστεί στα Νέα Ελληνικά το απόσπασμα: **«Ἀποβὰς δ᾽ … τοιάδε».**

**Μονάδες 10**

ii. Πώς παρουσιάζει ο Δερκυλίδας τη στάση των Σπαρτιατών απέναντι στους συμμάχους τους κατά την πρόσφατη ιστορία;

**Μονάδες 10**

iii. Να γράψετε στο τετράδιό σας τον τύπο που ζητείται για καθεμία από τις παρακάτω λέξεις:
**πολέμιος**: την κλητική ενικού αριθμού

**αὐτοῦ**: την αιτιατική ουδετέρου στον πληθυντικό αριθμό

**μείζων:** την αιτιατική του αρσενικού γένους στον υπερθετικό βαθμό

**ἄνδρες**: τη δοτική πληθυντικού αριθμού

**ἅπαντα**: τη γενική πληθυντικού του θηλυκού γένους

**Ἀποβὰς** : το β΄ ενικό πρόσωπο προστακτικής ενεστώτα ενεργητικής φωνής

**εἶπεν**: το απαρέμφατο παρακειμένου στην ενεργητική φωνή

**ἀπαντᾶν**: το β΄ ενικό πρόσωπο ευκτικής ενεστώτα ενεργητικής φωνής

**ἔτυχεν**: το β΄ πληθυντικό πρόσωπο προστακτικής παρακειμένου στη φωνή που βρίσκεται.

**φανῆναι**: το α΄ πληθυντικό πρόσωπο οριστικής παρακειμένου μέσης φωνής

**Μονάδες 10**

.

**iv.** **1.** Να γίνει πλήρης συντακτική αναγνώριση των παρακάτω τύπων: **τῷ μὲν Κόνωνι, πεζῇ, αὐτῷ, ὧν, φίλην** (Μονάδες 5 ).

**2.** ὅταν δέ τινες ἐν συμφοραῖς γενομένων φίλων βέβαιοι φανῶσι, τοῦτ᾽ είς τὸν ἅπαντα χρόνον μνημονεύεται. Να αναγνωριστεί το είδος του υποθετικού λόγου και να μετατραπεί ώστε να δηλώνει απλή σκέψη του λέγοντος (μονάδες 5).

**Μονάδες 10**

## ΚΑΛΗ ΕΠΙΤΥΧΙΑ!!!

***ΔΙΑΡΚΕΙΑ ΕΞΕΤΑΣΗΣ : 3 ΩΡΕΣ***

## ΟΔΗΓΙΕΣ:

1. **ΝΑ ΑΠΑΝΤΗΣΕΤΕ ΤΙΣ ΕΡΩΤΗΣΕΙΣ ΣΤΟ ΤΕΤΡΑΔΙΟ ΠΟΥ ΣΑΣ ΔΟΘΗΚΕ.**
2. **ΦΡΟΝΤΙΣΤΕ ΝΑ ΕΙΣΤΕ ΣΥΝΕΠΕΙΣ ΩΣ ΠΡΟΣ ΤΗ ΔΙΑΡΚΕΙΑ ΕΞΕΤΑΣΗΣ.**
3. **ΟΤΑΝ ΟΛΟΚΛΗΡΩΣΕΤΕ ΤΟ ΔΙΑΓΩΝΙΣΜΑ ΟΦΕΙΛΕΤΕ ΝΑ ΦΩΤΟΓΡΑΦΙΣΕΤΕ ΤΙΣ ΑΠΑΝΤΗΣΕΙΣ ΚΑΙ ΝΑ ΤΙΣ ΑΠΟΣΤΕΙΛΕΤΕ ΤΟ ΣΥΝΤΟΜΟΤΕΡΟ ΔΥΝΑΤΟΝ ΣΤΟ E – MAIL ΤΟΥ ΚΑΘΗΓΗΤΗ ΣΑΣ ΤΟ ΟΠΟΙΟ ΘΑ ΒΡΕΙΤΕ ΣΤΑ ΘΕΜΑΤΑ ΠΟΥ ΣΑΣ ΔΟΘΗΚΑΝ.(ΜΠΟΡΕΙΤΕ ΝΑ ΧΡΗΣΙΜΟΠΟΙΗΣΕΤΕ ΤΗΝ ΕΦΑΡΜΟΓΗ «CAM SCANNER» )**
4. **ΝΑ ΠΑΡΑΔΩΣΕΤΕ ΤΟ ΤΕΤΡΑΔΙΟ ΜΕ ΤΙΣ ΑΠΑΝΤΗΣΕΙΣ ΤΗΝ ΕΠΟΜΕΝΗ ΜΕΡΑ ΣΤΗ ΓΡΑΜΜΑΤΕΙΑ ΤΟΥ ΦΡΟΝΤΙΣΤΗΡΙΟΥ.**

Email διδάσκουσας: estergiou9@gmail.com